# ΞΕΝΟΦΩΝΤΟΣ

## ΕΚ ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΙΣΤΟΡΙΑΣ.

Τὴν Ἑλληνικὴν ἱστορίαν ἔγραψεν ὁ Ξενοφῶν εἰς βιβλία ἑπτά, ἀρχόμενος ἀφ' ὅπου παύει ὁ Θουκυδίδης, δηλ. μετὰ τὴν ἐν Σικελίᾳ μεγάλην ἧτταν τῶν Ἀθηναίων (Ὀλ. 92, 6΄.) καὶ χωρῶν μέχρι τοῦ θανάτου τοῦ Ἐπαμεινώνδου (Ὀλ. 104, γ΄.).

### ΒΙΒΛΙΟΝ Β΄. ΚΕΦΑΛΑΙΟΝ Α΄.[1]

ΛΥΣΑΝΔΡΟΣ δ' ἐξ Ἀβύδου[2] παρέπλει[3] εἰς Λάμψακον[4], ξύμμαχον οὖσαν Ἀθηναίων· καὶ οἱ Ἀβυδηνοὶ καὶ οἱ ἄλλοι παρῆσαν πεζῇ. Ἡγεῖτο δὲ Θώραξ Λακεδαιμόνιος. Προσβαλόντες δὲ τῇ πόλει, αἱροῦσι κατὰ κράτος[5], καὶ διήρπασαν οἱ στρατιῶται, οὖσαν πλουσίαν, καὶ οἴνου καὶ σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων πλήρη· τὰ δὲ ἐλεύθερα σώματα[6], πάντα ἀφῆκε Λύσανδρος. Οἱ δὴ Ἀθηναῖοι, κατὰ πόδας[7] πλέοντες, ὡρμήσαντο τῆς Χεῤῥονήσου ἐν Ἐλεοῦντι[8] ναυσὶν[9] ὀγδοήκοντα καὶ ἑκατόν. Ἐνταῦθα δὴ ἀριστοποιουμένοις[10] αὐτοῖς ἀγγέλλεται τὰ περὶ Λάμψακον[11], καὶ εὐθὺς ἀνήχθησαν[12] ἐς Σηστόν. Ἐκεῖθεν δ' εὐθὺς ἐπισιτισάμενοι[13], ἔπλευσαν ἐς Αἰγὸς ποταμοὺς[14], ἀντίον τῆς Λαμψάκου· (διεῖχε δὲ ὁ Ἑλλήσποντος ταύτῃ[15] σταδίους[16] ὡς πεντεκαίδεκα·) ἐνταῦθα δὴ ἐδειπνοποιοῦντο. Λύσανδρος δὲ τῇ ἐπιούσῃ νυκτὶ, ἐπεὶ ὄρθρος ἦν[17] ἐσήμηνεν[18] ἐς τὰς ναῦς ἀριστοποιησαμένους[19] ἐσβαίνειν. Πάντα δὲ παρασκευασάμενος ὡς ἐς ναυμαχίαν[20], καὶ τὰ παραβλήματα παραβάλλων[21], προεῖπεν ὡς μηδεὶς κινήσοιτο[22] ἐκ τῆς τάξεως, μηδὲ ἀνάξοιτο. Οἱ δὲ Ἀθηναῖοι ἅμα τῷ ἡλίῳ ἀνίσχοντι[23] ἐπὶ τῷ λιμένι παρετάξαντο ἐν μετώπῳ[24] ὡς ἐς ναυμαχίαν· ἐπεὶ δ' οὐκ ἀντανήγαγε[25] Λύσανδρος, καὶ τῆς ἡμέρας ὀψὲ ἦν, ἀπέπλευσαν πάλιν εἰς τοὺς Αἰγὸς ποταμούς. Λύσανδρος δὲ τὰς ταχίςας τῶν νεῶν ἐκέλευσεν ἕπεσθαι τοῖς Ἀθηναίοις· ἐπειδὰν δὲ ἐκβῶσι[26], κατι-

---

1) Μετὰ τὰ Σικελικὰ οἱ Ἀθηναῖοι συλλέξαντες τὰς τελευταίας δυνάμεις των, ἐξηκολούθησαν τὸν πόλεμον κατὰ τῶν Πελοποννησίων ἰδίως εἰς τὸ Αἰγαῖον πέλαγος καὶ τὰ παράλια τῆς Μικρᾶς Ἀσίας, καὶ ὑπερίσχυσαν πολλάκις κατὰ θάλασσαν. Το παρὸν ἀπόσπασμα ἀναφέρεται εἰς Ὀλ 93, δ΄. π. Χ. 405, ὅτε ὁ στρατηγὸς τῶν Λακεδαιμονίων Λύσανδρος ὡδήγει τὸν Πελοποννησιακὸν στόλον. 2) Πόλις τοῦ Ἑλλησπόντου. 3) Ἔπλει πλησίον εἰς τὸ παράλιον.

4) Πόλις τῆς Προποντίδος. 5) Αὐτήν. 6) Σώματα συνήθως οἱ δοῦλοι· ἐλεύθερα σώματα λέγει τοὺς αἰχμαλώτους. 7) Κατόπι, καταποδι. 8) Ἐλεοῦς, πόλις τῆς Χερσοννήσου, τοῦ δυτικοῦ παραλίου τοῦ Ἑλλησπόντου. 9) Ἐλλ. τῆς σύν. 10) Ἐνῷ ἐποιοῦντο ἄριστον, ἐπρογευμάτιζον. 11) Τὰ συμβάντα εἰς Λάμψακον. 12) Ἀπέπλευσαν εἰς Σηστὸν, ἄλλην πόλιν τοῦ Ἑλλησπόντου ἄντικρυ τῆς Ἀβύδου. 13) Ἐφοδιασθέντες μὲ τροφάς. Λ. Σ. 2.

14) Αἰγὸς ποταμοὶ, πόλις τῆς Προποντίδος. 15) Εἰς τοῦτο τὸ μέρος. 16) Ἓν γεωγραφικὸ μίλιον περιεῖχε στάδια 41 3/4. Ἄρα ἕκαστον στάδιον περίπου 3 λεπτά.

17) Ἀφοῦ ἐχάραξε. 18) Διὰ σημείου παρήγγειλε. 19) Εἰσβαίνειν (τοὺς ναύτας) ἀριστοποιησαμένους. 20) Ὡς διὰ ν. 21) Κρεμῶν παραπετάσματα εἰς τὰ πλευρὰ τῶν πλοίων.

22) Κ. §. 409. 23) Κ. §. 447 καὶ §. 463, ἅμα. 24) Παρουσιάζοντες πλατεῖαν γραμμὴν εἰς τὸν ἐχθρόν. 25) Ἀνταναφέρω. Ἐκπλέω ἐναντίον. 26) Οἱ Ἀθηναῖοι.